# Expositio fidei

## Τοῦ Ἀθανασίου, ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἔκθεσις πίστεως.

1.1 Πιστεύομεν εἰς ἕνα ἀγέννητον θεόν, πατέρα παντοκράτορα, πάντων ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων, τὸν ἔχοντα ἀφ' ἑαυτοῦ τὸ εἶναι. 1.2 καὶ εἰς ἕνα μονογενῆ λόγον, σοφίαν, υἱόν, ἐκ τοῦ πατρὸς ἀνάρχως καὶ ἀϊδίως γεγεννημένον, λόγον δὲ οὐ προφορικόν, οὐκ ἐνδιάθετον, οὐκ ἀπόρροιαν τοῦ τελείου, οὐ τμῆσιν τῆς ἀπαθοῦς φύσεως οὔτε προβολήν, ἀλλ' υἱὸν αὐτοτελῆ, ζῶντά τε καὶ ἐνεργοῦντα, τὴν ἀληθινὴν εἰκόνα τοῦ πατρὸς ἰσότιμον καὶ ἰσόδοξον. 1.3 "τοῦτο γάρ ἐστι", φησί, "τὸ θέλημα τοῦ πατρός," "ἵνα καθὼς τιμῶσι τὸν πατέρα οὕτω τιμῶσι καὶ τὸν υἱόν." θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, ὥς φησιν Ἰωάννης ἐν καθολικαῖς· "καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστοῦ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος." 1.4 παντοκράτορα ἐκ παντοκράτορος· πάντων γάρ, ὧν ἄρχει ὁ πατὴρ καὶ κρατεῖ, ἄρχει καὶ κρατεῖ. ὅλος ἐξ ὅλου. 1.5 ὅμοιος τῷ πατρὶ ὢν ὥς φησιν ὁ κύριος· "ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα." ἐγεννήθη δὲ ἀνεκφράστως καὶ ἀπερινοήτως· "τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται;" ἀντὶ τοῦ οὐδείς. 1.6 ὃς ἐπὶ συντελείᾳ τῶν αἰώνων κατελθὼν ἐκ τῶν κόλπων τοῦ πατρός, ἐκ τῆς ἀχράντου παρθένου Μαρίας τὸν ἡμέτερον ἀνείληφεν ἄνθρωπον, Χριστὸν Ἰησοῦν, ὃν ὑπὲρ ἡμῶν παθεῖν παρέδωκεν ἰδίᾳ προαιρέσει, ὥς φησιν ὁ κύριος· "οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν." 1.7 ἐν ᾧ ἀνθρώπῳ σταυρωθεὶς καὶ ἀποθανὼν ὑπὲρ ἡμῶν ἀνέστη ἐκ νεκρῶν, ἀνελήφθη εἰς οὐρανούς, ἀρχὴ ὁδῶν κτισθεὶς ἡμῖν ἐν τῇ γῇ ὢν ἡμῖν ἔδειξεν ἐκ σκότους φῶς, σωτηρίαν ἐκ πλάνης, ζωὴν ἐκ νεκρῶν, εἴσοδον ἐν τῷ παραδείσῳ, ἐξ οὗ ἐκβέβλητο Ἀδάμ, εἰς ὃν πάλιν εἰσῆλθε διὰ τοῦ λῃστοῦ, ὡς εἶπεν ὁ κύριος· "σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ," εἰς ὃν καὶ ὁ Παῦλος εἰσῄει· ἄνοδόν τε εἰς οὐρανούς, "ὅπου πρόδρομος εἰσῆλθεν ὑπὲρ ἡμῶν" ὁ κυριακὸς ἄνθρωπος, ἐν ᾧ μέλλει κρίνειν ζῶντας καὶ νεκρούς. 2.1 Πιστεύομεν ὁμοίως εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ πάντα ἐρευνῶν "καὶ τὰ βάθη τοῦ θεοῦ," ἀναθεματίζοντες τὰ παρὰ τοῦτο φρονοῦντα δόγματα. 2.2 οὔτε γὰρ υἱοπάτορα φρονοῦμεν ὡς οἱ Σαβέλλιοι λέγοντες μονοούσιον καὶ οὐχ ὁμοούσιον καὶ ἐν τούτῳ ἀναιροῦντες τὸ εἶναι υἱόν. 2.3 οὔτε τὸ παθητὸν σῶμα ὃ ἐφόρεσε διὰ τὴν τοῦ παντὸς κόσμου σωτηρίαν, ἀνατίθεμεν τῷ πατρί. 2.4 οὔτε τρεῖς ὑποστάσεις μεμερισμένας καθ' ἑαυτάς, ὥσπερ σωματοφυῶς ἐπ' ἀνθρώπων ἐστὶ λογίσασθαι, ἵνα μὴ πολυθείαν ὡς τὰ ἔθνη φρονήσωμεν, ἀλλ' ὥσπερ ἐκ πηγῆς ποταμὸς γεγενημένος οὐ διῃρέτη καίτοι δύο σχήματα καὶ δύο ὀνόματα τυγχάνοντα. 2.5 οὔτε γὰρ ὁ πατὴρ υἱός ἐστιν οὔτε ὁ υἱὸς πατήρ ἐστιν. ὁ γὰρ πατὴρ υἱοῦ πατήρ ἐστι καὶ ὁ υἱὸς πατρὸς υἱός ἐστιν. 2.6 ὡς γὰρ οὐκ ἔστιν ἡ πηγὴ ποταμὸς οὐδὲ ὁ ποταμὸς πηγή· ἀμφότερα δὲ ἓν καὶ ταυτόν ἐστιν ὕδωρ τὸ ἐκ τῆς πηγῆς εἰς τὸν ποταμὸν μετοχετευόμενον, οὕτως ἡ ἐκ τοῦ πατρὸς εἰς τὸν υἱὸν θεότης ἀρρεύστως καὶ ἀδιαιρέτως τυγχάνει. 2.7 φησὶ γὰρ ὁ κύριος· "ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω." παρὰ δὲ τῷ πατρί ἐστιν ἀεὶ ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. 2.8 οὐδέποτε δὲ ἐκενώθη ὁ κόλπος τοῦ πατρὸς τῆς τοῦ υἱοῦ θεότητος. φησὶ γάρ· "ἐγὼ ἤμην παρ' αὐτῷ ἁρμόζουσα." 2.9 οὐ φρονοῦμεν δὲ κτίσμα ἢ ποίημα ἢ ἐξ οὐκ ὄντων τὸν τοῦ παντὸς κτίστην θεόν, τὸν τοῦ θεοῦ υἱόν, τὸν ἐκ τοῦ ὄντος ὄντα, τὸν ἐκ τοῦ μόνου μόνον, ὡς συναπεγεννήθη ἐκ τοῦ πατρὸς ἀϊδίως ἡ ὁμοία δόξα καὶ δύναμις. "ὁ" γὰρ "ἑωρακὼς τὸν υἱὸν καὶ τὸν πατέρα ἑώρακε." 2.10 τὰ πάντα δηλονότι διὰ τοῦ υἱοῦ ἐκτίσθησαν, ἀλλ' οὐκ ἔστιν αὐτὸς κτίσμα, ὥς φησιν ὁ Παῦλος περὶ τοῦ κυρίου· "ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα" καὶ "αὐτός ἐστι πρὸ πάντων." 2.11 οὐ λέγει δὲ ὅτι πρὸ πάντων "3ἐκτίσθη"3, ἀλλ' ὅτι πρὸ πάντων ἐστί. τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γοῦν ἐκτίσθαι ἐπὶ πάντων κεῖται· τὸ δὲ ἔστι πρὸ πάντων μόνῳ τῷ υἱῷ ἁρμόζει. 3.1 Γέννημα τοίνυν κατὰ φύσιν ἐκ τελείου τέλειόν ἐστι. "πρὸ πάντων βουνῶν" γεννηθέν, τουτέστι πρὸ πάσης λογικῆς καὶ νοερᾶς οὐσίας. ὡς καὶ ἐν ἑτέρῳ τόπῳ φησὶν αὐτὸν ὁ Παῦλος "πρωτότοκον πάσης κτίσεως." 3.2 ἀλλὰ πρωτότοκον δηλῶν μὴ εἶναι αὐτὸν κτίσμα ἀλλὰ γέννημα τοῦ πατρός. ξένον γὰρ ἐπὶ τῆς θεότητος αὐτοῦ τὸ λέγεσθαι κτίσμα. 3.3 τὰ γὰρ πάντα ἐκτίσθησαν ὑπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, ὁ δὲ υἱὸς μόνος ἐκ τοῦ πατρὸς ἀϊδίως ἐγεννήθη. 3.4 διὸ "πρωτότοκός ἐστι πάσης κτίσεως" ὁ θεὸς λόγος· ἄτρεπτος ἐξ ἀτρέπτου. ἔστι τοίνυν τὸ ὃ δι' ἡμᾶς ἐφόρεσε σῶμα κτίσμα. 3.5 περὶ οὗ λέγει ὁ Ἰερεμίας κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνευτῶν ἔκδοσιν· "κύριος ἡμῖν ἔκτισεν εἰς καταφύτευμα σωτηρίαν καινήν, ἐν ᾗ σωτηρίᾳ περιελεύσονται ἄνθρωποι." 3.6 κατὰ δὲ τὸν Ἀκύλαν περὶ τοῦ αὐτοῦ ῥητοῦ κεῖται· "ἔκτισε κύριος καινὸν ἐν τῇ θηλείᾳ." ἡ δὲ κτισθεῖσα ἡμῖν εἰς καταφύτευμα σωτηρία καινὴ καὶ οὐ παλαιά, ἡμῖν τε καὶ οὐ πρὸ ἡμῶν, Ἰησοῦς ἐστιν ὁ κατὰ τὸν σωτῆρα γενόμενος ἄνθρωπος. 3.7 ὃς ἑρμηνεύεται πῇ μὲν σωτηρία, πῇ δὲ σωτήρ. ἔστι δὲ ἐκ τοῦ σωτῆρος ἡ σωτηρία ὃν τρόπον ἐκ τοῦ φωτὸς ὁ φωτισμός. 3.8 ἡ οὖν ἐκ τοῦ σωτῆρος σωτηρία κτισθεῖσα καινὴ καθὼς λέγει Ἰερεμίας "ἔκτισεν ἡμῖν σωτηρίαν καινὴν" καὶ ὡς Ἀκύλας φησὶν "ἔκτισε κύριος καινὸν ἐν τῇ θηλείᾳ," τουτέστιν ἐν τῇ Μαρίᾳ. 3.9 οὐδὲν γὰρ ἐκτίσθη καινὸν ἐν τῇ θηλείᾳ εἰ μὴ τὸ ἐκ Μαρίας, τῆς παρθένου, τεχθὲν ἄνευ συνουσίας κυριακὸν σῶμα. 3.10 ὡς καὶ ἐν παροιμίαις ἐκ προσώπου τοῦ Ἰησοῦ λέγει· "κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ." οὐ λέγει δὲ πρὸ ἔργων ἔκτισέ με, ἵνα μή τις εἰς τὴν θεότητα τοῦ λόγου ἐκλάβοι τὸ ῥητόν. 4.1 Ἑκάτερα τοίνυν τὰ περὶ τὸ κτίσμα ῥητὰ σωματικῶς εἰς τὸν Ἰησοῦν γέγραπται. ἀρχὴ γὰρ ὁδῶν ἐκτίσθη ὁ κυριακὸς ἄνθρωπος, ὧν εἰς σωτηρίαν ἡμῖν ἐφανέρωσε. 4.2 διὰ τούτου γὰρ πρὸς τὸν πατέρα ἔχομεν προσαγωγήν. αὐτὸς γάρ ἐστιν ἡ ὁδός, καθὼς λέγει· "ἐγώ εἰμι ἡ ὁδὸς" ἡ πρὸς τὸν πατέρα ἀνάγουσα ὑμᾶς. 4.3 ὁδὸς δὲ σωματικόν τί ἐστι θέαμα, ἥτις ἐστὶν ὁ κυριακὸς ἄνθρωπος. τὰ πάντα γοῦν ἔκτισεν ὁ τοῦ θεοῦ λόγος οὐκ ὢν κτίσμα ἀλλὰ γέννημα. 4.4 οὐδὲν γὰρ τῶν κτισμάτων ἔκτισέ τι ἴσον ἢ ὅμοιον ἑαυτῷ. πατρὶ δὲ ἔοικε τὸ γεννᾶν, τεχνίτῃ δὲ τὸ κτίζειν. 4.5 ποίημα γοῦν ἐστι καὶ κτίσμα τὸ ὃ δι' ἡμᾶς ἐφόρεσε σῶμα ὁ κύριος, "ὃ ἐγεννήθη ἡμῖν", ὥς φησιν ὁ Παῦλος, "ἀπὸ θεοῦ σοφία καὶ ἁγιασμὸς καὶ δικαιοσύνη καὶ ἀπολύτρωσις." καίπερ πρὸ ἡμῶν καὶ πάσης κτίσεως σοφία τοῦ πατρὸς ἦν ὁ λόγος καὶ ἔστι. 4.6 τὸ δὲ ἅγιον πνεῦμα ἐκπόρευμα ὂν τοῦ πατρὸς ἀεί ἐστιν ἐν ταῖς χερσὶ τοῦ πέμποντος πατρὸς καὶ τοῦ φέροντος υἱοῦ, δι' οὗ ἐπλήρωσε τὰ πάντα. 4.7 ὁ πατὴρ συνέχων ἐξ ἑαυτοῦ τὸ εἶναι ἐγέννησε τὸν υἱόν, ὡς ἔφαμεν, καὶ οὐκ ἔκτισεν ὡς ποταμὸν ἀπὸ πηγῆς καὶ ὡς βλαστὸν ἀπὸ ῥίζης καὶ ὡς ἀπαύγασμα ἀπὸ φωτός, ἃ οἶδεν ἡ φύσις ἀδιαίρετα, δι' οὗ τῷ πατρὶ δόξα, κράτος, μεγαλοσύνη πρὸ πάντων τῶν αἰώνων καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. ἀμήν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.